& in animantibus peculiare in generando, natóſque conſeruando, ſtudium eſt. Et magis parentes ſobolem ſuam diligunt, quàm diligantur viciſſim ipſi & effuſiore charitate hanc matres complectuntur, quàm patres. Ac nati itidem magis ex ſe genitos, quàm genitores amant: quia præſtantiſſima eſt actio. Et matres effuſius, quàm patres, amant, quia magis ſuum opus eſſe liberos arbitrantur, & quia opus difficultate definiunt. magis vtique generando mater affligitur. De amicitia igitur, quæ vnicuique eſt erga ſe, quæque in pluribus verſatur, hoc pacto determinatum ſit.

CAPVT IX.

Videtur autem iuſtum æquale quippiã eſſe, & amicitia in æqualitate quadam conſiſtere: niſi fruſtrà dicatur: Amatoria eſt æqualitas. Porrò omnes politiæ, iuſti quædam ſpecies ſunt: communicatio enim quædam eſt: & commune omne ex iuſto conflatur. Quocirca hęc omnia, amicitia, iuſto, & communicatione, quis diiudicarit, ac diſcrimina quidem tenuia habet. Et quia ſimiliter habet anima ad corpus, vt artifex ad inſtrumentum, & ſeruus ad dominum: horum quidem nulla communicatio eſt, quia duo non ſunt: ſed illud quidem vnum: & quod vnius, nullum: neque diuiſibile vtrique bonum, ſed amborũ vnius, cuius gratia eſt. Corpus enim inſtrumentum eſt congenitũ, & ſeruus domini velut particula, & inſtrumentum ſeparabile: inſtrumentum autem, velut ſeruus inanimatus. Reliquæ autem communicationes ſunt, aut particula communicationum ciuitatis velut contribulium eſt, & quæ vocatur orgiorum: prætereà quæſtuariæ Reſpublicæ. Verùm ciuitates omnes communicationibus quibuſdam continentur, & rectæ & transgreſſoriæ. Quemadmodũ in harmoniis, ſic in ciuitatibus vſu venit: quæ in regia quidé, parentis eſt: in ariſtocratia, velut viri, & vxoris: ſimplici autem Republica fratrum: exceſſus autem in his, tyrannis, olygarchia, & plebs, & iuſta quidẽ totidẽ ſunt. Quẽadmodum verò ęquale aliud quidẽ numero eſt, aliud proportione: ſic & iuſti, & amicitiæ communicationis ſpecies ſunt: ſecundum numerum quidem, vt ſocialis amicitia: nã ipſa definitione terminatur: ſecundũ proportionem verò ariſtocratia, optima & regia. Neq. enim idẽ principi, ſubditóq. iuſtum eſt, ſed ſecundũ proportionẽ. Sic & amicitia ſimiliter patris & filij, neque abſimilis in communicationibus ratio.

A τοῖς ζώοις ἡ περὶ τὰ τέκνα σπουδή ἐστι, καὶ τὸ γεννῆσαι καὶ γεννώμενα σώζειν. καὶ φιλοῦσι δὴ μᾶλλον οἱ πατέρες τὰ τέκνα, καὶ αἱ μητέρες τῶν πατέρων, ἢ φιλοῦνται· καὶ οὗτοι πάλιν τὰ αὐτῶν ἢ τοὺς γεννήσαντας, διὰ τὸ τὴν ἐνέργειαν εἶναι τὸ ἄριστον. καὶ αἱ μητέρες τῶν πατέρων, ὅτι μᾶλλον οἴονται αὐτῶν εἶναι ἔργον τὰ τέκνα. τὸ γὰρ ἔργον τῷ χαλεπῷ διορίζουσι. πλεῖω δὲ λυπεῖται περὶ τὴν γένεσιν μήτηρ, καὶ B περὶ μὲν φιλίας τῆς πρὸς αὑτὸν καὶ τῆς ἐν πλείοσι, διωρίσθω τὸν τρόπον τοῦτον.

Κεφάλαιον θ.

Δοκεῖ δὲ τό, τε δίκαιον εἶναι ἴσον τι, καὶ ἡ φιλία ἐν ἰσότητι, εἰ μὴ μάτην λέγεται ἰσότης ἡ φιλότης. αἱ δὲ πολιτεῖαι πᾶσαι δικαίου τι εἶδος· κοινωνία γάρ. τὸ δὲ κοινὸν πᾶν διὰ τοῦ δικαίου συνέστηκεν, ὥστε ἂν εἴη διὰ φιλίας καὶ δικαίου καὶ κοινωνίας, καὶ πάν- C τα ταῦτα σύνορα ἀλλήλοις, καὶ ἐγγὺς ἔχει τὰς διαφοράς. ἐπεὶ δ᾽ ὁμοίως ἔχει ψυχὴ πρὸς σῶμα, καὶ τεχνίτης πρὸς ὄργανον, καὶ δεσπότης πρὸς δοῦλον, τούτων μὲν οὐκ ἔστι κοινωνία. οὐ γὰρ δύο ἐστὶν ἀλλὰ τὸ μὲν ἕν, τὸ δὲ τοῦ ἑνός, οὐδέν. οὐδὲ διαιρετὸν τὸ ἀγαθὸν ἑκατέρῳ, ἀλλὰ τὸ ἀμφοτέρων τοῦ ἑνὸς οὗ ἕνεκά ἐστι. τό, τε γὰρ σῶμα ἐστὶν ὄργανον σύμφυτον, καὶ τοῦ δεσπό- D του ὁ δοῦλος, ὥσπερ μόριον καὶ ὄργανον ἀφαιρετόν. τὸ δ᾽ ὄργανον ὥσπερ δοῦλος ἄψυχος. αἱ δ᾽ ἄλλαι κοινωνίαι εἰσίν, ἢ μόριον τῶν τῆς πόλεως κοινωνιῶν, οἷον ἡ τῶν φρατέρων ἢ τῶν ὀργίων, ἢ αἱ χρηματιστικαὶ ἔτι πολιτεῖαι. αἱ δὲ πολιτεῖαι πᾶσαι ἐν οἰκίαις συνυπάρχουσι καὶ αἱ ὀρθαί, καὶ αἱ παρεκβάσεις. ἔστι γὰρ τὸ αὐτὸ ὥσπερ ὅτι τῶν ἁρμονιῶν, καὶ τῶν ἐν ταῖς πο- E λιτείαις. βασιλικὴ μὲν, ἡ τοῦ γεννήσαντος· ἀριστοκρατικὴ δὲ, ἡ ἀνδρὸς καὶ γυναικός· πολιτεία δ᾽, ἡ τῶν ἀδελφῶν. παρέκβασις δὲ τούτων, τυραννίς, ὀλιγαρχία, δῆμος· καὶ τὰ δίκαια δὴ τοσαῦτα. ἐπεὶ δὲ τὸ ἴσον τὸ μὲν κατ᾽ ἀριθμόν, τὸ δὲ κατ᾽ ἀναλογίαν, καὶ τοῦ δικαίου εἴδη ἔσται καὶ τῆς φιλίας καὶ τῆς κοινωνίας. κατ᾽ ἀριθμὸν μὲν γὰρ ἡ κοινωνία, καὶ ἡ ἑται- F ρικὴ φιλία. τῷ γὰρ αὐτῷ ὅρῳ μετρεῖται. κατ᾽ ἀναλογίαν δὲ ἡ ἀριστοκρατικὴ ἀρίστη καὶ βασιλική. οὐ γὰρ ταὐτὸν δίκαιον τῷ ὑπερέχοντι καὶ ὑπερεχομένῳ, ἀλλὰ τὸ ἀνάλογον. καὶ ἡ φιλία δὲ ὁμοίως πατρὸς καὶ παιδός· καὶ ἐν ταῖς κοινωνίαις ὁ αὐτὸς τρόπος.

Κεφά-